## 10 IULIE
## ANTONIOS MARKOU

# SLUJBA SF.CUVIOS ANTONIE DE LA PECERSKA




## MINEIUL PE IULIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 Ἰουλίου

# Ἀκολουθία Ὁσίου ΑΝΤΩΝΙΟΥ τοῦ Κιέβου

## Ποίημα Ἀντώνιος Μάρκου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παραδείσου τό ἄνθος* τό εὐωδέστατον,* Χριστοῦ τὴν εὐωδίαν* ἀποπνέοντα ὅλως,* αἰνέσωμεν Ἀντώνιον καὶ τῶν αὐτοῦ* θαυμασίων τρυφήσωμεν,* Εὐαγγελίου ὡς ἐργάτην καὶ τῆς κλεινῆς,* Ῥωσίας τῆς Ἁγίας τό ὀσφράδιον.

Χαίροις θειότατε Πάτερ* καί περιτίμητε,* Ῥωσίας θεῖον τέκνον* ὁ ἀναδειχθείς ἐν Κυρίῳ,* ἀνδρῶν τε φιλοθέων καὶ γυναικῶν* Πατήρ, ἀγάπης ὁ ἔμπλεος·* ὁ μοναχῶν καί μιγάδων ὁδηγητής* πρός τήν Μάνδραν τήν οὐράνιον.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου* νῦν ἠξιώθης οἰκεῖν* καὶ σὺν Ἀγγέλοις μέλπειν,* τὸν Τρισάγιον ὕμνον,* Ἀντώνιε Πάτερ· ὑπὲρ ἡμῶν,* τῶν σῶν δούλων δεήθητι* ἐλεηθῆναι, ῥυσθῆναι τε συμπαθῶν* τῆς παρούσης περιστάσεως.

Τοῖς Ἀσωμάτοις συνήφθης* ἐπὶ τῆς γῆς κατοικῶν* καί σὺν αὐτοῖς ἀπαύστως,* νῦν ὑμνεῖς τήν Τριάδα,* Ἀντώνιε παμμάκαρ· ὅθεν ἀεί,* ὡς οὐράνιος ἄνθρωπος,* περιπολεύων τὰ ἄνω ἀντιλαβοῦ* τῶν ἐν γῇ μνήμην τιμώντων σου.

Δόξα. Ἦχος β΄.

Εὐφραίνεται ἐπί σοι, Πάτερ,* ἡ Ἐκκλησία τοῦ Χριστοῦ* μετ’ εὐφροσύνης κράζουσα·* χαῖρε φωστήρ αὐγάζων γῆν Ἁγίας Ῥωσίας,* ὁ ταύτην οὐρανώσας·* χαῖρε Λαύρας τῆς Τριάδος τό εὔοσμον ἴον*, ὁ τόν Σταυρόν τοῦ Κυρίου ἀράμενος* καί σταυρικῷ τῷ τρόπῳ,* Σταυροῦ τῷ ἱστίῳ,* πρός τήν μένουσαν διαπορθμευθείς εὔκλειαν·* χαῖρε ὁ ὁδηγός,* ὁ οὐρανίᾳ ὁδηγίᾳ μοναχούς ὁδηγήσας* πρός τήν πόλιν τήν μέλλουσαν.* Ὡς ἔχων παῤῥησίαν,* ὑπὲρ ἡμῶν Χριστῷ τῷ Κυρίῳ πρέσβευε.

Καί νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πρέσβευε ἐκτενῶς* ὑπὲρ τῶν μοναζόντων,* Ἀντώνιε τρισμάκαρ,* ῥυσθῆναι τῶν παγίδων* ἐχθροῦ τοῦ πολεμήτορος.

Στ. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἄνθος Χριστοῦ τερπνόν,* ἁγιωσύνης κλέος,* τῇ σῇ εὐωδεστάτῃ* καὶ μυριπνόῳ δόξῃ,* πάντας ἡμᾶς κατηύφρανας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Λύτρωσαι τῶν δεινῶν* κινδύνων ἡμᾶς πάντας,* Ἀντώνιε, δυσωποῦμεν,* ὡς ἄριστος προστάτης,* ἡμῶν καὶ φύλαξ ἄγρυπνος.

Δόξα. Τριαδικόν.

Τριάδι τῇ σεπτῇ,* παρ’ Ἧς ἡ σωτηρία,* ὑπὲρ ἡμῶν ἀπαύστως,* μὴ παύσῃ τοῦ πρεσβεύειν,* Ἐσφιγμενίτα Ἀντώνιε.

Καὶ νῦν. Θεοτοκίον.

Ἄνασσα τοῦ παντός* καί Μήτηρ τοῦ Ὑψίστου* ὑπάρχουσα, Παρθένε,* μετά τοῦ Ἀντωνίου,* Κυρίῳ ἱκετεύσατε.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης. Ποίημα Νήφωνος Ἱερομονάχου Ἁγιοσκεπίτου.

Μοναζόντων ἀλείπτης τῶν ἐν Ὄρει τοῦ Ἄθωνος* καὶ τῶν ἐν Ῥωσίᾳ ἐδείχθης,* θεομάκαρ Ἀντώνιε·* μονῆς τε Ἐσφιγμένου οἰκιστής,* αὐγάζων ὥσπερ ἥλιος λαμπρός·* θεραπεύεις τε πάντων σὺν ταῖς ψυχαῖς* τά σώματα, μακάριε.* Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,* δόξα τῷ σὲ θαυμαστώσαντι,* δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικίσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διά τοῦ τόκου Σου.

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν τὸ Μακάριος ἀνήρ· εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια, τῶν Ὁσίων τῆς Λαύρας τρία. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φωταυγής ὥσπερ ἥλιος* ὑμῶν ἡ μνήμη ἀνέτειλεν,* καταυγάζων ἅπασαν τήν ὑφήλιον* μαρμαρυγαῖς φωτοφόροις τε* καί θείαις ἐλάμψεσι,* Ἀσκηταί, Ὁμολογηταί,* Ἱεράρχαι καί Μάρτυρες,* πάντες Ὅσιοι* οἱ τῆς Λαύρας, οἱ δόξῃ τιμηθέντες* εἰς ἀντίδοσιν ἀγώνων* παρά Κυρίου καί ἀσκήσεων.

Χαῖρε πόλις Θεόδμητε,* τοῦ Χριστοῦ Νύμφη Πάγκαλε,* Ἐκκλησία πάντιμε· Σοί γάρ ἥκασι* νῦν οἱ υἱοί τοῦ Νυμφῶνος Σου,* ἐκ πάσης Ῥωσίας τε* καί Ἐώας καί Βορρᾶ, ἀπό Νότου καί Δύσεως* συνενούμενοι,* ἀῤῥαγῶς ἱδρυμένοι τῷ θεμέθλῳ* Προφητῶν καί Ἀποστό λων,* πάντες τῆς Λαύρας οἱ Ἅγιοι.

Ἐν θαλάσσῃ μαχόμενοι,* ἐν ξηρᾷ στρατευόμενοι,* ἐν ἀνάγκαις, Κύριε, συνεχόμενοι* ὑπέρ τῆς θείας Σου Πίστεως,* θερμῶς Σοι κραυγάζομεν,* σπεῦσον, λύτρωσαι ἡμᾶς,* ἀσεβείας τόν δράκοντα τροπωσάμενος,* Σῶν Ἁγίων πρεσβείαις τῶν τῆς Λαύρας* καί Μητρός Σου τῆς Πανάγνου* καί Πάντων τῶν τε Ἁγίων Σου.

Ἕτερα τοῦ Ὁσίου. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ἐν Ὄρει τῷ Ἁγίῳ μαθητής,* τῶν ἐκεῖ Πατέρων ἐγένου,* ἐν Ἐσφιγμένου Μονῇ,* ἐν ᾗ καί τῶν μοναστῶν

διῆλθες δίαυλον·* εἶτα ταύτης ἐχώρησας,* Θεοῦ εὐδοκίᾳ,* καί ἐν σπηλαίῳ ᾤκησας* ἐν τῷ Κιέβῳ, ἐν ᾧ* Λαύραν, Ἀντώνιε Πάτερ,* τήν τῆς Θεοτόκου ὑψώσας,* πάσης τῆς Ῥωσίας ὤφθης καύχημα.

Κόσμου τήν ἀπάτην ἐκφυγών,* τούτου ἐμακρύνθης πολίζων* Κιέβου ἔρημον* καί σπηλαίῳ ᾤκ ησας, Πάτερ Ἀντώνιε·* πόθῳ δέ θείῳ φλεγόμενος* τυχεῖν Παραδείσου,* Ἀντωνίου πέφυνας τοῦ Αἰγυπτίου εἰκών·* ὅθεν καί νομίμως ἀσκήσας,* τοῦ σοῦ συνωνύμου ἐδείχθης* τοῦ Καθηγητοῦ, τό θεῖον ἔσοπτρον.

Ἔνθεος ἐδείχθης μιμητής,* τοῦ σοῦ ἐξαιρέτου προτύπου,* τοῦ ἐξ Αἰγύπτου σοφοῦ,* οὗ τό θεῖον ὄνομα φέρεις, θεσπέσιε,* τοῦ Κιέβου τό καύχημα·* καί τούτου τήν θέαν* ἀπολαύεις σήμερον, προσώπῳ πρόσωπον* Ἀντωνίῳ εὐωχούμενος,* ἐν τῷ Παραδείσῳ,* οὗ τυχεῖν ποθοῦμεν εὐχαῖς σου,*πρός τόν Λυτρωτήν ἡμ ῶν καί Κύριον.

Δόξα. Ἦχος πλ. α'.

Συνδράμωμεν ἀδελφοί,* ἐπί τῇ μνήμῃ τοῦ τῆς Λαύρας δομήτορος* καί ὕμνοις αὐτοῦ καταστέψωμεν τό ἄφθαρτον δέμας,* χαῖρε βοῶντες τό τοῦ Πνεύματος πόλισμα* καί ναός ἔμψυχος τοῦ Παντάνακτος Θεοῦ.* Σύ γάρ τόν καύσωνα τοῦ θέρους ἐβάστασας* καί τόν παγετόν τοῦ χειμῶνος ὑπέμεινας,* κρουνός ἀνεδείχθης* δωρεῶν τῶν τοῦ Πνεύματος,* ἐπί τοῖς ἀναξίοις δούλοις τοῦ Θεοῦ·* ἐπί τῷ τέλει δέ* τήν τοῦ σώματος ἀφθαρσίαν,* παρά Κυρίου

ἔλαβες.* Πρέσβευε οὖν Αὐτῷ,* Πάτερ θειώτατε,* μετανοίας τήν τρίβον ἡμῖν διδάξαι,* σαῖς ἱκεσίαις καί δεήσεσι.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ* τῆς ἀπειρογάμου Νύμφης* εἰκὼν διεγράφη ποτέ.* Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος,* ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος.* Τότε τὸν βυθόν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,* νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν* ἀσπόρως ἡ Παρθένος.* Ἡ θάλασσα* μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ* ἔμεινεν ἄβατος.* Ἡ ἄμεμπτος* μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ* ἔμεινεν ἄφθορος.* Ὁ ὢν καὶ προών* καὶ φανεὶς ὡς ἄνθρωπος* Θεὸς, ἐλέησον ἡμᾶς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 6 - 7, γ΄13 - 16).

Μνήμη δικαίου μετ' ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι

πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶν. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ι' 32, ἐκλογή).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωὴν καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντὸς καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ Αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν· πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην καὶ ἐξεζήτησα ἐκ νεότητός μου καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γάρ ἐστι τῆς τοῦ

Θεοῦ ἐπιστήμης καὶ αἱρέτις τῶν ἔργων Αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην Αὐτοῦ καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ Σου, καὶ τῇ σοφίᾳ Σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ Σοῦ γενομένων κτισμάτων καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν Σῶν θρόνων πάρεδρον σοφίαν καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων Σου, ὅτι ἐγὼ δοῦλος Σός καὶ υἱὸς τῆς παιδίσκης Σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου Σου καὶ ἀπὸ θρόνου δόξης Σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ Σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ' 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ

ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα· τό μέν πρῶτον τῶν Ὁσίων τῆς Λαύρας, τά δέ λοιπά τοῦ Ὁσίου Ἀντωνίου.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ* ἡ τῆς Ῥωσίας Ἐκκλησία ,* ὡς μήτηρ καλλίγονος,*
ἐπί τοῖς Σοῖς τέκνοις εὐφραινομένη·* ἐκ Σοῦ γάρ ἀνεβλ άστησαν* οἱ εἰς ἔπαινον σήμερον προκείμενοι,* Ὅσιοι τῆς τῶν Σπηλαίων Λαύρας·*
οἱ διά τρόπων ποικίλων* καί δι’
ἑνός Πνεύματος* τῷ Κυρίῳ εὐαρεστήσαντες·* διά μαρτυ ρίου καί ἀσκήσεως* καί φιλοθέου βίου* καί φιλανθρώ που διαθέσεως.*
Αὐτῶν τήν μνήμην οὖν πιστῶς ἑορτάζοντες,*
χεῖρας κροτοῦμεν βοῶντες,*
πρός Χριστόν τόν Κύριον·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

Ἦχος β΄.

Ἐν τοῖς Ἁγίοις
αὐτῆς* ἐκαυχᾶτο ποτέ ἡ μακαρία Αἴγυπτος,* ἡ Ἀντώνιον τόν Μέγαν γεννήσασα·* νῦν δέ καυχᾶται Ῥωσίας ἡ χώρα,* ἐπ’ Ἀντωνίῳ τῷ τέκνῳ καί Πατρί αὐτῆς.* Οὗτος γάρ ἀπό νεότητος τῷ Κυρίῳ ἀνατεθείς,* ἐν Ἄθωνι μαθητεύσας,* εἰς Ῥωσίαν μετήνεγκεν* τήν τῆς μοναδικῆς πολιτείας ὁδόν,* τήν

πρός Κύριον ἐπάγουσαν.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον, Πάτερ, ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί πάντων ἡμῶν δεχθῇ τήν μετάνοιαν,* πρεσβείαις καί λιταῖς Σου, Ὅσιε.

Ἦχος γ'.

Ἀντώνιος μέν ὁ ἐξ Ἐσφιγμένου,* πρῶτος τῶν μοναστῶν* ἐν Κιέβῳ ἐφάνη·* Παχωμίῳ γάρ τῷ Αἰγυπτίῳ ἀκολουθῶν,* τῆς Λαύρας ἐδείχθη τῆς τῶν Σπηλαίων ἱδρυτής.* Τήν ψυχήν γάρ τρωθείς θείῳ ἔρωτι,* ἐφάνη βιαστής* τοῦ λαβεῖν Παράδεισον·* διό μόνος μόνῳ τῷ Θεῷ ἐνατενίζων,* δρυμοῦ θηριοτρόφου οἰκιστής ἐγένοετο.* Ὡς τῶν πάλαι Πατέρων ὅθεν ὁμότροπον,* τιμήσωμεν αὐτόν πιστοί,* αἰτούμενοι αὐτοῦ τάς πρεσβείας,* εἰς τό τυχεῖν ἀφέσεως.

Δόξα. Ἦχος πλ. α'.

Ἀσκητικῆς ἐραστής γενόμενος πολιτείας,* ἀσκητικούς ἀγῶνας ἐπεδείξω,* ἐν τῷ σπηλαίῳ ἀγωνισάμενος, Ἀντώνιε·* δι' ὧν τά πάθη ἐνέκρωσας * καί τοῦ ἐχθροῦ κατέβαλες τάς φάλαγγας.* Ὅθεν, σοφέ τῆς ἐρήμου πολιστά,* μετά Θεοδοσίου, Νίκωνός τε καί Μωϋσέως* καί τοῖς λοιποῖς ὁμοτρόποις σου,* τόν Κύριον ἱκετεύσατε,* τοῦ λαβεῖν ἡμᾶς εὐχαῖς ὑμῶν καί ἱκεσίαις,* παρ' Αὐτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μετά Ἀγγέλων τά οὐράνια,* μετά ἀνθρώπων τά ἐπίγεια,* ἐν φωνῇ ἀγαλλιάσεως,*

Θεοτόκε, βοῶμεν Σοι.*
Χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα,*
χαῖρε μόνη τῶν γηγενῶν σωτηρία.*
Χαῖρε, σεμνή Κεχαριτωμένη,*
ἡ τεκοῦσα Θεόν σεσαρκωμένον.

Εἰς τό Στίχον. Ἦχος πλ. α᾽. Χαῖροις ἀσκητικῶν.

Τῶν Ὁσίων τῆς Λαύρας.

Χαίροις, ὁ τῶν Πατέρων χορός,* τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ὁ διάκοσμος,* ἡ δόξα Αὐτῆς καί κλέος καί τῶν πιστῶν στηριγμός·* τῶν ἁμαρτανόντων ἡ διόρθωσις·* πιπτόντων ἀνόρθωσις,* ὀχλουμένων διάσωσις,* δεινῶς πασχόντων* ἐν Κυρίῳ ἡ ἴασις,* κατατρυχομένων πειρασμοῖς ἡ ἐνίσχυσις·* χαίρετε, πανσεβάσμιοι,* δοχεῖα τῆς χάριτος,* ναοί τοῦ μόνου Δεσπότου* Πατρός, μοναί αἱ τοῦ Πνεύματος·* τῷ Λόγῳ πρεσβείαν,* ἱκετεύομεν μή παύειν* ποιεῖν ἑκάστοτε.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Τοῦ Ὁσίου Ἀντωνίου.

Χαίροις, ὁ τῆς Ῥωσίας βλαστός* καί Σαμαρείας τῆς ἐν Ἄθῳ ἀπάνθισμα,* μιγάδων ὁ πρωτοπόρος,* ἐν τοῦ Κιέβου τῇ γῇ,* ὁ τήν ἐρημίαν πολισάμενος·* πατήρ ὁ δειξάμενος* τέκνων ἀπείρων ἐν πνεύματι*, ἅ πρός Πατέρα* τόν οὐράνιον ἔργοις σου* καθοδηγήσας,* ναούς ποιήσας τοῦ Πνεύματος.* Δόξα σοι, πανσεβάσμιε,* Ἀντώνιε Ὅσιε,* δέχου ἡμῶν τε τόν ὕμνον* καί τῆς καρδίας τήν πρόθεσιν,* προχέων σοῖς φίλοις,* εὐλογίαν τήν ἐξ ὕψους* παθῶν τε λύτρωσιν.

Στ. *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις Αὐτοῦ ἐν Ἐκκλησίᾳ Ὁσίων.*

Χαίροις, ὁ τῆς Ῥωσίας υἱός,* ὁ τῆς Παρθένου καί Κυρίας διάκονος* καί Ταύτης ὁ τιμητής τε,* ὁ ἐν Κιέβῳ μονήν* καλλίστην καί μεγάλην δομησάμενος,* ἐν ᾗ τάς ἐντεύξεις* μετ’ ἀδελφῶν προσενήνοχας* τῷ σῷ Δεσπότῃ* Χριστῷ, Πάτερ Ὅσιε,* τῶν μοναζόντων ὁ Πατήρ καί Διδάσκαλος.* Σπεῦσον, οὖν, ἱερώτατε,* ἡμᾶς περιτείχισον* εὐχαῖς ἁγίαις, ὡς ἔχων* τήν παῤῥησίαν πρός Κύριον,* ἡμᾶς τούς ὑμνοῦντας* τήν σήν ἄσκησιν, ἐξαίρων* πάσης κακώσεως.

Δόξα. Ἦχος πλ. β΄. Τῶν Ὁσίων.

Φοβερά καί παράδοξα,* τά ἔργα τῶν Ἁγίων Σου, Κύριε·* ὅτι διά τήν Σήν ἀγάπην,* ἀγάπης γονικῆς ἀνώτεροι ὤφθησαν·* διά δέ τόν πλοῦτον τῆς Βασιλείας Σου,* πλοῦτον τόν φθειρόμενον ὡς σκύμβαλον ἠρνήσαντο·* ἐν ἐρημίαις πλανώμενοι,* ἐν ταῖς ὀπαῖς τῆς γῆς τεθαπτόμμενοι,* ἐν μαρτυρίῳ προσφερόμενοι,* ἐν ἀγῶσι πρόθυμοι,* ταῖς ἀρεταῖς ἐργαζόμενοι,* ἔτυχον παρά Σοῦ τοῦ τῆς δόξης στεφάνου.* Τούτων ὑπέρ ἡμῶν δεομένων,* δέχου τήν πρεσβείαν, Πολυέλεε,* καί φάνηθι τῷ λαῷ Σου ἐν φωτί,* οὐ πυρί,* ἐλεῶν καί φωτίζων ἡμᾶς τούς ὑμνοῦντας Σε.

Καί νῦν. Θεοτοκίον.

Θεοτόκε, Σύ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τόν καρπόν τῆς ζωῆς, Σέ ἱκετεύομεν* πρέσβευε Δέσποινα,* μετά τῶν Σῶν Ὁσίων καί πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης. Ποίημα Νήφωνος Ἱερομονάχου Ἁγιοσκεπίτου.

Μοναζόντων ἀλείπτης τῶν ἐν Ὄρει τοῦ Ἄθωνος* καὶ τῶν ἐν Ῥωσίᾳ ἐδείχθης,* θεομάκαρ Ἀντώνιε·* μονῆς τε Ἐσφιγμένου οἰκιστής,* αὐγάζων ὥσπερ ἥλιος λαμπρός·* θεραπεύεις τε πάντων σὺν ταῖς ψυχαῖς* τά σώματα, μακάριε.* Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,* δόξα τῷ σὲ θαυμαστώσαντι,* δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

Δόξα. Ἕτερον, τῶν Ὁσίων κοινόν. Ὅμοιον.

Τούς ἐν Κιέβῳ Πατέρας, Ἱεράρχας καί Μάρτυρας,* τούς ἐν ἀσκήσει δειχθέντας* τοῦ Κυρίου θεράποντας,* τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί,* Ὁσίους τούς τῆς Λαύρας, οἱ αὐτῶν* δεόμενοι τῶν θείων πρεσβειῶν,* πρός Χριστόν τόν Φιλάνθρωπον.* Δόξα οὖν ἐκβοήσωμεν αὐτοῖς,* δόξα τῷ στεφανώσαντι,* δόξα τῷ δωρουμένῳ δι' ὑμῶν,* πᾶσι συγχώρησιν.

Καί νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικίσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς* διά τοῦ τόκου Σου.

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ὁ τοῦ βορρᾶ,* ἐκ τοῦ Κιέβου ἐκλάμψας,* φωτί τῶν ἀρετῶν,* θαύμασι καί σημείοις,* φωτίζεις ὑπερβόρειον* Ῥώσων χώραν καί ἅπασαν* γῆν, καλούμενος* ἐπί τῇ θείᾳ σου μνήμῃ,* είς πανήγυριν,* Ἀντώνιε θεοφόρε,* ἡμᾶς τούς τιμῶντας σε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Ἁγνή ἡ τόν Θεόν* ἡμῶν τεκοῦσα,
τό κλέος* πάντων τῶν εὐσεβῶν,*
ἡ χαρά καί ἡ δόξα·* μή παύῃς δεόμεθα* ἱκετεύειν
Ὅν ἔτεκες·* ἵνα ῥύσηται* ἡμᾶς παθῶν ψυχοφθόρων*
καί δωρήσηται* ζωῆς ἀλήκτου τόν τόπον,*
πρεσβείαις Σου Πάνσεμνε.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὁ τῶν τῆς Λαύρας μοναστῶν ποιμενάρχης* καί τῆς Ῥωσίας εὐκλεέστατος γόνος,*
παρά Χριστοῦ μεγάλην χάριν ἔλαβεν·*
Ὁσίων ἐγκαλλώπισμα,* ὑπόδειγμα μοναχῶν τε* ἀναδέδεικται·* πάντας οὖν νῦν προσκαλεῖται, μνήμην τελέσαι χαρμοσύνως τήν αὐτοῦ,* οὗ ταῖς πρεσβείαις* ἡμᾶς ἐλέησον Κύριε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Δέσποινα ἁγνή,* φιλανθρωπότατε Κόρη, φρύαγμα ἐχθρῶν,* ἀνθρώπων θεῖος λιμήν τε,*

οἱ τοῦ Χριστοῦ ἐνθέως ἀνυμνοῦμεν Σε·* σπεῦσον, Μῆτερ, πρόφθασον,* τῇ μεσιτείᾳ Σου σῶσον,* τούς πίστει προστρέχοντας* τῇ παναχράντῳ Σου σκέπῃ·* ἀπό κινδύ νων ῥῦσαι χαλεπῶν* τούς Σέ τιμῶντας,*
Παρθένε ἀκήρατε.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Κἄν ἐζήτεις
ῥιφθῆναι* χαμαί καί σύρεσθαι* ἀπό ποδῶν, τοῖς θηρίοις σήν σάρκα θέμενος* εἰς βοράν,
οἱ μαθηταί* οὐδέν ἐποίησαν* τούτων, σεβόμενοι, σοφέ,* τήν μακαρίαν σου ψυχήν καί τῆς ζωῆς τούς ἀγῶνας·* δι' ὧν ἐκτήσω τήν χάριν* τοῦ προορᾶν, Πάτερ Ἀντώνιε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Σοῦ Θεοτόκε ὁ οἶκος,* ὁ τῆς Ἑλλάδος, τά νῦν* ὑπό κρίσεως ὅλως δεινῶς ταράττεται* καί πτωχεύει· Μ αριάμ,* σπεῦσον οὖν πρόφθασον,* Σαῖς πρός τόν Κύριον λιταῖς,* τῇ παῤῥησίᾳ Σου, Ἁγνή,* καί ῥῦσαι τοῦτον, Παρθένε·* καί ἀναστήλωσον, Μῆτερ,* ἐν εὐσεβείᾳ καί χρηστότητι.[1]

Οἱ Ἀναβαθμοί· τό α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Στ. *Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς Αὐτοῦ.–*

## Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια΄ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον, τό β΄ τῆς Λιτῆς. Ἦχος β΄. Στ. *Ἐλέησόν με ὁ Θεός,...*

Ἐν τοῖς Ἀγίοις αὐτῆς* ἐκαυχᾶτο ποτέ ἡ μακαρία Αἴγυπτος,* ἡ Ἀντώνιον τόν Μέγαν γεννήσασα·* νῦν δέ καυχᾶται Ῥωσίας ἡ χώρα,* ἐπ' Ἀντωνίῳ τῷ τέκνῳ καί Πατρί αὐτῆς.* Οὗτος γάρ ἀπό νεότητος τῷ Κυρίῳ ἀνατεθείς,* ἐν Ἄθωνι μαθητεύσας,* είς Ῥωσίαν μετήνεγκεν* τήν τῆς μοναδικῆς πολιτείας ὁδόν,* τήν πρός Κύριον ἐπάγουσαν.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον, Πάτερ, ἱκέτευε,* ἵνα ἄρῃ ἁμαρτίας τόν ζυγόν* καί πάντων ἡμῶν δεχθῇ τήν μετάνοιαν,* πρεσβείαις καί λιταῖς Σου, Ὅσιε.

Οἱ Κανόνες· τῆς Θεοτόκου καί τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς τῶν μέν Τροπαρίων *ΑΝΤΩΝΙΟΣ ΑΝΤΩΝΙῼ ΥΜΝΟΝ ΑΔΕΙ ΕΥΗΧΟΝ·* τῶν δέ Θεοτοκίων *ΘΕΟΤΟΚΟΣ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἀρχήν νῦν ποιούμενος ἀνυμνεῖν,* Ἀντωνίου ἀγῶνας,* αὐτόν ἐνθέρμως παρακαλῶ·* διάῤῥηξον πταισμάτων μου τόν ὄγκον,* πρός τόν Δεσπότην δεόμενος πάντοτε.

Νομίμως ἀσκήσας ἐπί τῆς γῆς,* ἀξίως τήν χάριν* ἔλαβες, Πάτερ, θαυματουργεῖν·* ταύτην οὖν χρώμενος νῦν παῦσον,* τόν τῆς ψυχῆς μου, Ἀντώνιε, κλείδωνα.

Τρωθείς θείῳ ἔρωτι, τοῦ φθαρτοῦ* ἐμάκρυνας κόσμου,* βορρᾶ γενόμενος πολιστής* καί τούτου τῆς ἐρήμου Θηβαΐδος,* ἐν ᾗ ὡς ἄστρον, Ἀντώνιε, ἤστραψας.

Ὡραιότητος θείας καί μυστικῆς,* οἰκῶν ἐν σπηλαίῳ* ἐγένου ἔμπλεος τῇ ψυχῇ,* ἁπάντων τῶν θείων χαρισμάτων,* δι' ὧν ἡμᾶς τά νῦν ἐλέησον, Ἀντώνιε.

Θεοτοκίον.

Θεοτόκε Παρθένε, ὁ Ποιητής,* ἐν τῇ Σῇ κοιλίᾳ* κατεκένωσεν Ἑαυτόν·*
ὁ κόλπους πατρικούς μή κενώσας,*
σῶσαι θελήσας ὡς Θεός τό ἀνθρώπινον.

Ὠδή γ'. Οὐρανίας ἁψῖδος.

Νίκην ἔσχες Βελίαρ* κατατροπώσας τήν δύναμιν,* ἔνδον ἐν τῷ ἕλει ἐκθέτων* σά μέλη, Πάτερ, τοῖς κώνωψι·* τούτων τοῖς δήγμασι* καί τῇ τοῦ αἵματος ῥεύσει,* σάρκαν κατεμάρανας* τήν σήν Ἀντώνιε.

Ἱκετεύομεν, Πάτερ,* ἡμῶν τά πάθη καί τραύματα,* σπεῦσον σαῖς ἁγίαις πρεσβείαις,* ταχέως ἴασαι·* ἵν᾽ εὐφημοῦμεν σε,* ὡς μοναζόντων τό κλέος,* Ἀντώνιε θειότατε,* τῆς Λαύρας καύχημα.

Ὄρος Ἅγιον, Πάτερ,* ἐν σοί καυχᾶται, Ἀντώνιε,* ἐν ᾧ ἀσκητικῶς ἐπαιδεύθης* καί ἐμαθήτευσας·* εἶτα Κιέβου τήν σήν* ἔπηξας Λαύραν Σπηλαίων,* ἐν ᾗ καί ἠρίστευσας* καί μένεις ἄφθορος.

Σταυρόν Κυρίου σου, Πάτερ,* ὁμοῦ τοῖς ἄλλοις Ἀντώνιε,* ἀσκήσεσι ἐπ᾽ ὤμων σου ἄρας* σῶμα ἐσταύρωσας,* σύν τοῖς παθήμασι* καί ταῖς ἐπιθυμίαις,* ὡς φησί Ἀπόστολος* Παῦλος, θεσπέσιε.

Θεοτοκίον.

Πολυευσπλάγχνως, Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον νῦν καί λύτρωσαι πάντας* ἀπό κινδύνων καί θλίψεων·* σύν σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Ἀντώνιον τόν Ὅσιον* Λαύρας τόν κτήτορα.

Κάθισμα. Ἦχος πλ. δ'. Τήν Σοφίαν καί Λόγον.

Τούς ἀγῶνας καί κόπους τούς σούς, πιστοί* νοερῶς θεωροῦντες, πλήν εὐκρινῶς,* πάσης κατανύξεως τάς ψυχάς ἐμπιμπλάμεθα* καί πρό

ς θεῖον ὕμνον καί δόξαν καί αἴνεσιν,* τοῦ Κυρίου πάν των,* τοῦ τῶν ὅλων δεσπόζοντος,* πόθῳ ἐγκαρδίῳ* ἑαυτούς συγκινοῦμεν,* ᾠδαῖς σε γεραίροντες,* ὡς Ἠλιοῦ τόν ὁμόζηλον* καί τοῦ Προδρόμου ὁμαίμονα* καί πιστῶς ἐκβοῶμέν σοι·* πρόφθασον ἱλεῶσαι Κριτήν,* ταῖς πρός Αὐτόν σαῖς ἐνθέρμοις δεήσεσιν·* Τοῦτον ἐπίκαμψον Πάτερ,* ὡς Ἐκκλησίας τό ἀγλάϊσμα.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Χαριστήριον αἶνον χρεωστικῶς,* ὡς ἡ χήρα ἐκείνη δύο λεπτά,* προσφέρω Σοι, Δέσποινα,* ὑπέρ πασῶν τῶν χαρίτων Σου.* Σύ γάρ ὤφθης σκέπη ὁμοῦ καί ἀντίληψις,* πειρασμῶν καί θλίψεων ἀεί με ἐξαίρουσα.* Ὅθεν ὡς ἐκ μέσου* φλογιζούσης καμίνου,* ῥυσθείς τῶν θλιβόντων με,* ἐκ καρδίας κραυγάζω Σοι·* Θεοτόκε βοήθει μοι,* πρεσβεύουσα τῷ Σῷ Υἱῷ καί Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.

Ἄρτου μένοντος ὤφθης,* μιμητής ἐν πᾶσι, θεῖε Ἀντώνιε,* διό ἄρτους τῆς προθέσεως* ἠξιώθεις τοῦ προσφέρειν μετά πίστεως.

Νόσων, Πάτερ, ἀπάλλαξον* τῶν θλιβόντων δούλων τῶν σῶν τά σώματα* καί ψυχάς, θεομακάριστε,* ὡς ἡμῶν πρέσβυς ἀκοίμητος πρός Κύριον.

Τῆς ἁγνότητος στῦλος* καί λαμπτήρ ἐφάνης περίφωτος·* ὅθεν πᾶσι σόν ὑπόδειγμα,* Ἀντώνιε, προσφέρεις στεφανούμενος.

Ὡραΐσας σόν λείψανον,* ἀφθαρσίᾳ, Πάτερ, Χριστός ἐκόσμησε·* διό ῥῦσαι ταῖς πρεσβείαις σου* τούς αὐτῷ προστρέχοντας ἐκ πίστεως.

Θεοτοκίον.

Ὅλον με, Μῆτερ, βορβόρῳ* καί ἐν φθορᾷ κατακείμενον,* σπεῦσον ῥῦσαι καί διάσωσον* τῶν χειρῶν τοῦ ἀλλοτρίου, Ἀειπάρθενε.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ναούς ἡμᾶς Θεοῦ,* δι’ ἀγάπης πάντας ποίησον,* ὡς κεκτημένος αὐτήν ἀγαπητέ,* ὁ διά βίου ἀγαπήσας τόν πλησίον σου.

Ἴασιν ψυχῆς* ἐπιτύχημεν δεήθητι* τοῦ Κυρίου καί Παντάνακτος Θεοῦ* καί Βασιλείας, ἥν αὐτός ἀξίως ἔλαβες.

Ὡράϊσον ψυχάς* τῶν σπευδόντων τῷ λειψάνῳ σου* τῷ ἀφθάρτως τηρουμένῳ ἄχρι νῦν* ἐν τῇ Λαύρᾳ, ὡς ἀναστάσεως πειστήριον.

Θεοτοκίον.

Τιμῶντες Σε, Ἁγνή,* Ὀρθοδόξων τά συστήματα* καί ὑμνοῦντες οὐ παυόμεθα,* ταῖς Σαῖς πρεσβείαις θαῤῥοῦντες, Παντάνασσα.

Ὠδή στ'. Τήν δέησιν ἐκχεῶ.

Ὑμνοῦμεν σε,* τῆς Σαμαρείας τό ἴον* καί Ἐσφιγμένου κινάμωμον θεῖον,* τόν ἁγιότητι βίου φανέντα,* ἐν μονοτρόποις κλεινόν καί σεβάσμιον·* ὅθεν τό χαῖρε σοι πιστοί* ἀναβοῶμεν, τῇ πρεσβείᾳ σου σπεύδοντες.

Μνημόνευσον* πάντων ἡμῶν Ἀγελάρχα,* τῇ οὐρανίῳ ἱστάμενος Τραπέζῃ,* μέσον χοροῦ Ἱεραρχῶν καί Ὁσίων,* τοῖς τῷ Κυρίῳ τόν αἶνον προσφέρουσι·* πρέσβυν γάρ σέ πρός Θεόν* ἐπιγραφόμεθα, Πάτερ Ἀντώνιε.

Νέος ὤν* ὑπῆλθες τῷ σώματι,* τόν ζυγόν σύ τόν χρηστόν τοῦ Σωτῆρος,* ἀποῤῥαγείς τῶν τοῦ κόσμου ματαίων* καί τοῖς σπηλαιο ις φυγαδεύων ἐμάκρυνας* καί μόνος μόνῳ τῷ Θεῷ,* νοερῶς ἦσθα ἡδόμενος, Ἀντώνιε.

Θεοτοκίον.

Ὅλον με,* νυσταγμῷ βεβαρημένον,* τῇ θερμῇ Σου ἔγειρον ἱκεσίᾳ* καί μή δώῃς ὑπνῶσαι Σόν δοῦλον,* Μῆτερ Ἁγία Παρθένε, εἰς θάνατον·* προστάτην γάρ καί ὁδηγόν* ἐμῆς ζωῆς Σ έ ἐπιγράφομαι, Δέσποινα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τόν ἀστέρα Ἐκκλησίας τόν ὁλόφωτον,* τόν ἐξ Ἄθωνος Ῥωσίᾳ ἀνατείλαντα,* οἰκουμένῃ δέ ἀκτῖσι τῶν ἀρετῶν του* διαλάμψαντα ὁμοῦ καί ἁγιότητος,* δεῦτε ἅπαντες

πιστοί ἀνευφημήσωμεν,* χαίροις κράζοντες* Πατήρ ἡμῶν ἐνθεώτατε.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης ἐκ τοῦ Ὄρους, θεόφρον, ἐν ἀσκήσει ἀγωνισάμενος· ἐκεῖθεν δέ ἀνατείλας τῷ κόσ μῳ, αὐγάζεις ἡμᾶς ταῖς σαῖς διδαχαῖς καί τῇ πίστει στηρίζεις ἅπαντας· ὅθεν τιμῶντες σε βοῶ μεν σοι ταῦτα·

Χαῖρε, Πάτερ, ὁ Βελίαρ τῷ σῷ ἀγῶνι πατάξας·

χαῖρε, Μάκαρ, ὁ ἀρετήν καί ἀγνοίαν διδάξας.

Χαῖρε, ὁ ὑποστάς τούς τῆς ἀσκήσεως πόνους·

χαῖρε, ὁ φανείς ὑπέρ τούς τῆς φύσεως νόμους.

Χαῖρε, ἀπάνθισμα ὡραιότατον Ἐσφιγμένου τῆς Μάνδρας.

χαῖρε, ἀγλάϊσμα τερπνότατον τῶν Σπηλαίων τῆς Λαύρας.

Χαῖρε, Ἄθωνος καί Ῥωσίας ὁ οὐρανοφθόγγος ἐρωδιός·

χαῖρε, μοναστῶν ὁ προστάτης καί οὐρανοδρόμος ὁδηγός.

Χαῖρε, ὁ ἐνυπάρχων τῶν πιστῶν ἡ λαμπρότης·

χαῖρε, ὁ ἐντυγχάνων τῆς Ἐκκλησίας φαιδρότης.

Χαῖρε, ἥλιε ὁλόφωτε τῆς Ἐκκλησίας τοῦ Χριστοῦ·

χαῖρε, βάσις ἀῤῥαγεστάτη τοῦ ποιμνίου τοῦ Θεοῦ.

Χαίροις Πατήρ ἡμῶν ἐνθεώτατε.

Συναξάριον.

Τῇ 10η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Ἀντωνίου τοῦ Ἐσφιγμενίτου, τοῦ ἐν Κιέβῳ ἱδρύσαντος τήν περιώνυμον Λαύραν τῶν Σπηλαίων, Μοναστικοῦ Πατρός τῆς Ῥωσικῆς Ἐκκλησίας.

Στίχοι·

*Ἄθωνος τῷ Ὄρει οἰκήσας, Πάτερ,*

*ὡς κλίμακα αὐτό πρός Ῥωσίαν ἔσχες.*

*Τῇ δεκάτῃ Ἀντώνιος πρός οὐρανούς ἀνῆλθε,*

*ἡμῖν καταλειπών αὐτοῦ τό θεῖον σκῆνος.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὄλβος τῶν εὐσεβούντων,* Ἀντώνιε ὑπάρχεις,* ὁ ἀπό Ἐσγιγμένου ἐλθών* εἰς χώραν τοῦ Κιέβου,* ἔνθα τῶν μοναζόντων* βίον βοῶν καθυπέδειξας·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Νόσων καί κινδύνων* ἰατρός ἐδόθης,* Ἀντώνιε θεοφόρε Πατήρ ἡμῶν,* διό πάθη καί πληγάς τε* ἡμῶν τάς ἀοράτους,* σῇ ἐπιστασίᾳ θεράπευσον,* τῶν ἐκβοώντων ἀεί·* Θεός εὐλογητός εἶ.

Ἄξια ἐργάζῃ* ὕμνου καί μετά πότμον,* Ἀντώνιε θαυμάσια,* τεράστια τοῖς πᾶσι,* τοῖς σοί

προσερχομένοις * καί μετά πόθου κραυγάζουσι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ

Δοχεῖον οὐρανίου* χάριτος ἐγένου* τοῦ προορᾶν τά ἐσόμενα,* διά χάριτος μεγίστης,* ἀσκήσεως καί πόθου* τοῦ πρός Χριστόν, πρός Ὅν ἔκραζες·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Θεοτοκίον.

Κυρία Θεοτόκε,* ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου καί Θεῷ·* ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·* χαῖρε οὐράνιε λιμήν,* πάντων τῶν σωζομένων.

Ὠδή η᾽. Τόν Βασιλέα τῶν οὐρανῶν.

Ἐνδόξου ὤφθης* Κιέβου ἀγελάρχης* καί ἐν νεότητι γέρων τῇ σοφίᾳ,* Ἀντώνιε τῆς Λαύρας* καύχημα τῶν Σπηλαίων.

Ἴδε τούς πίστει* εἰλικρινεῖ προσιόντας,* τῇ θήκῃ τοῦ σοῦ ἀφθάρτου λειψάνου,* ψυχῶν δέ Ἀντώνιε δίδου* σωμάτων τε ὑγείαν.

Εὐσεβεστάτης* Λαύρας τῆς τῶν Σπηλαίων* Ποιμήν ἐδείχθης Ἀντώνιε θεόπτης·* διό μή παύῃ σκέπων* αὐτήν ἀπό κακίας.

Θεοτοκίον.

Ὀμμάτων σκότος,* ψυχῆς ἀορασίαν,* φωταγώγησον Σύ,* φωτός ἀκτίστου Μῆτερ,* τῶν δεομένων* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ὑμνοῦμεν τῶν Σπηλαίων* δομήτορα τόν θεῖον* τόν ἐκ Μονῆς Ἐσφιγμένου ἐρχόμενον,* ἅπαντας τούς ἐν πειρασμοῖς* καί ἐν ἀνάγκαις σκέποντα Ἀντώνιον.

Ἤρθημεν πρός ὕψος* θείας μεγαλωσύνης,* ταῖς σαῖς πρεσβείαις, τοῦ Κιέβου Ἀντώνιε,* τῆς Ῥωσίας ὁ φωστήρ* καί τῶν ἐκεῖσε μιγάδων διδάσκαλε.

Χάριν τῶν ἰαμάτων* δεχθείς παρά Κυρίου,* τούς τριχωμένους κακίᾳ τοῦ ὄφεως* καί ἐν πάθεσι εὐεργετεῖς* ἀναργύρως, θεόφρον Ἀντώνιε.

Ὅλον σαὐτόν καθάρας* ἀσκούμενος ἐν Λαύρᾳ,* ὁσιότητος ἔργοις κεκόσμησαι* καί ὤφθης μετά τελευτήν* εὐωδιάζων καί ἄφθορος, πάντιμε.

Νεῦσον πρός πτωχείαν,* τοῦ ταῦτα στιχουργοῦντος* καί σῇ πρεσβείᾳ πρός τόν Πλάστην Ἀντώνιε, * ἐμπλούτισον ἐμήν ψυχήν,* τῶν δωρεῶν καί χαρίτων τοῦ Πνεύματος.

Θεοτοκίον.

Σωτῆρα ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* σύν τῷ Ὁσίῳ Κυρίῳ πρεσβεύσατε,* ἵνα δωρήσῃ ὡς Θεός,* ἁμαρτημάτων τήν λύσιν καί ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός τήν σήν ἐδέξατο* ἄσκησιν ὡς θυμίαμα,* ὦ Πάτερ θεοφόρε* καί ἀντιδόξασεν· ὅθεν* ἡμεῖς καθικετεύομεν,* μή παύσῃς τῆς δεήσεως,*

ἁμαρτημάτων τήν λῦσιν,* δοῦναι ἡμῖν τοῖς τιμῶσι* σοῦ τήν πανίερον μνήμην.

Θεοτοκίον.

Χαρὰν τὴν ἀνεκλάλητον,* Πάναγνε ἡ κυήσασα,* χαρᾶς ἡμᾶς αἰωνίου,* μετόχους ποίησον πάντας,* Παρθένε θεονύμφευτε,* ἡ σκέπη, τὸ κραταίωμα,* τῶν εὐσεβῶς βοώντων Σοι·* μὴ ἐπιλάθῃ Σῶν δούλων,* Θεοκυῆτορ Μαρία.

Εἰς τούς Αἴνους, ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἐπ' Ἀντωνίου τῇ μνήμῃ* δεῦτε συνέλθωμεν* καί λείψανον τό θεῖον* καὶ αὐτοῦ τὴν εἰκόνα* τὴν πάνσεπτον ἐν φόβῳ καὶ χαρμονῇ* προσκυνήσωμεν ἅπαντες,* καθικετεύοντες τοῦτον πάσης ὀργῆς* καὶ ἀνάγκης ἡμᾶς ῥύεσθαι.

Τῶν ἐπιγείων τὸν ὕμνον* δέχου, Ἀντώνιε,* καὶ τὰς αἰτήσεις πάσας* πρὸς Θεὸν ἀναφέρων,* ἐνίσχυσον ἱκέτας σου, ἱερέ,* ταῖς ἁγίαις πρεσβείαις σου* καὶ τὰς ᾠδὰς τῶν ὑμνούντων σε ἱερῶς* μὴ παρίδῃς, ὡς φιλάδελφος.

Χαίροις Ὁσίων ἡ δόξα,* Ῥωσίας καύχημα,* Λαύρας Σπηλαίων κλέος* καὶ ἐλπὶς ὑμνητῶν σου·* χαῖρε Κυρίου ὁ δοῦλος ὁ ἀγαθὸς,* ὁ μὴ κρύψας τὸ τάλαντον·* χαίροις παμμάκαρ Ἀντώνιε Πατὴρ ἡμῶν,* Ἐκκλησίας τό θησαύρισμα.

Τὸν ἐν τοῦ Ἄθω τῷ Ὄρει* σεμνῶς ἀσκήσαντα,* τῶν βοηθείας χρηζόντων* ὁδηγὸν καὶ πατέρα·*τὸν μέγαν ἐν ἀσκήσει, τὸν τούς ἐχθροὺς* ἐμφανῶς καταισχύναντα,* τόν

ἀγελάρχην ὑμνήσωμεν οἱ πιστοί* καὶ θερμῶς καθικετεύσομεν.

Δόξα. Ἦχος πλ. δʹ.

Ὡς κρίνον εὐθαλές,* ἐν Παραδείσῳ φυτευθέν,* τὴν ψυχήν σου καθορῶντες* εὐφραινόμεθα, Ἅγιε·* καὶ τὴν ὁσιακήν σου πολιτείαν* θεωροῦντες ἐκπληττόμεθα.* Ἐν Ἄθωνος γάρ τῷ Ὄρει ἐνασκήσας,* ὡς ῥύαξ ἐκεῖθεν ἐπήγασας* δρόσον οὐράνιον ταῖς ψυχαῖς* τῶν πάθεσι καταφλεγομένων.* Τῇ σῇ μητρί Ῥωσίᾳ δέ ἐμφυτευθείς,* Λαύραν τῶν Σπηλαίων τήν πανσεβάσμιον ἤγειρας,* εἰς τιμήν τῆς Ἀειπαρθένου.* Μετά λῆξιν δέ,* τῇ τοῦ λειψάνου σου χάριτι,* ἄνεσιν ἐπομβρίζεις τοῖς δεομένοις* καί εὐλογοῦσι Χριστόν* τόν σέ δοξάσαντα.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάρια.

Τῶν Ὁσίων τῆς Λαύρας.

Χαίρετε Πατέρες Λαύρας σεπτοί,* ὄντως τῶν Ὁσίων* τῶν ἀρχαίων οἱ μιμηταί·* μεθ’ ὧν Παραδείσου αὐλαῖς ταῖς φωτοβόλοις* χορεύετε, ἀπα ύστως* Κυρίῳ ᾄδοντες.

Τοῦ Ὁσίου Ἀντωνίου.

Θρόνῳ παριστάμενος τοῦ Χριστοῦ,* Ἀντώνιε μάκαρ,* ἐρημίτης ὡς εὐκλεής,* πρέσβευε ἀπαύστως, πάσης

λυτροῦσθαι βλάβης,* τοὺς προ-σιόντας, Πάτερ,* τῇ ἀντιλήψει σου.

Δίστιχον·

*Πρόσδεξε τόν ὕμνον, Ἀντώνιε, ὅν ἐκ πόθου*

*καί ὑπέρ πταισμάτων, Ἀντώνιος προσφέρει.*

[1] Τό παρόν, προερχόμενον ἐκ τῆς ἡμετέρας Παρακλήσεως εἰς τήν Παναγίαν τοῦ Καζάν, προσετέθη ὡς ἱκετήριος δέησις, ὑπέρ ἄρσεως τοῦ ζυγοῦ τῆς πολυειδούς κρίσεως, τήν ὁποίαν ἡ Ἑλληνική μας Πατρίς διέρχεται.

